www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

# ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΗΦΟΡΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Φιλοπονηθεῖσα Παρὰ τȣ͂ Πανιερωτάτȣ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ

Φιλαδελφίας Κυρίȣ Γαβριήλ·

χάριν τȣ͂ ἐξαιτησαμένȣ αὐτὴν Ὁσιολογιωτάτȣ μεγάλȣ

Ἀρχιδιακόνȣ

Κὺρ

ΝΙΚΗΦΟΡΟΥ ΛΕΣΒΙΟΥ.

Ἐν Κωνςαντινȣπόλει.

αωκβ.

www.tezaurliturgic.ro

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ

100426

www.tezaurliturgic.ro



Μηνὶ Ἰουνίῳ β΄. Μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν προοιμιακὸν τὸ μακάριος ἀνὴρ, τὸ α΄. ἀντίφ. εἰς δὲ τὸ κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ή. καὶ ψάλλ. Στιχηρὰ προσόμοια. Ἦχος δ΄.

ὡς γενναῖον ἐν μάρτυσιν.

Ἀληθείας ἑδραίωμα, καὶ τῆς πίστεως ἔρεισμα, καὶ δογμάτων πρόβολον σὲ γινώσκομεν, τῆς εὐσεβείας συνήγορον, ἁγνείας τε σκήνωμα, καὶ δοχεῖον ἐκλεκτὸν, εὐωδίας τοῦ πνεύματος καὶ παμμέγιστον, θησαυρὸν διδαγμάτων καὶ κρηπῖδα, τοῦ Χριστοῦ τῆς Ἐκκλησίας, Ἱεροφάντα θεόπνευστε. Δίς.

Ἀποστόλων διάδοχον ἀθλοφόρων ὁμότροπον, ἀσκητῶν ὁμόζηλον εὐφημοῦμέν σε, καὶ διδασκάλων ἐκσφράγισμα, καὶ θεῖον ἐκτύπωμα, καὶ Χριστοῦ μυσταγωγὸν, Ἱεράρχα μακάριε, καὶ θεόρρυτον, ποταμὸν ἰαμάτων τὰς ἀνόμους, καὶ βλασφήμους διανοίας κατακαλύπτοντα πάνσοφε.

Τῆς σοφίας τὸ τάλαντον, πλεονάσας πανόλβιε, τῆς χαρᾶς ἠξίωσαι τοῦ Κυρίου σου, πεποικιλμένος τῇ χάριτι, τῆς θείας ἐλλάμψεως, καὶ τῇ αἴγλῃ νοητῶς, ἀποστίλβων τοῦ πνεύματος νῦν παρίστασαι, δεξιᾷ ζωηφόρῳ λαμπηδόσιν, οὐρανίοις ἀενάως, καταστραπτόμενος ἔνδοξε.

ἕτερα Στιχηρὰ προσόμοια. Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος

Λόγῳ τὰ πάθη πανόλβιε, καθυποτάξας σαφῶς, τὴν ψυχὴν κατελάμπρυνας, ἀρετῶν ἐν χρώμασι καὶ δογμάτων φαιδρότητι, τὸν τῆς σοφίας πλοῦτον δρεψάμενος, καὶ διανείμας τοῖς σοὶ προστρέχουσι· λύχνος πολύφωτος, γεγονὼς τῇ χάριτι θεοπρεπῶς, ὄντως ἐγκαλλώπισμα, τῇ Ἐκκλησίᾳ Χριστοῦ. Δίς.

Νίκην κατ᾽ ἐχθρῶν ἀράμενος, δικαιοσύνης λαμπρῷ, νῦν στεφάνῳ κεκόσμησαι, Νικηφόρε πάνσοφε, τῆς ἁγνείας διδάσκαλε,

www.tezaurliturgic.ro



τῆς εὐσεβείας στῦλος ἀκράδαντος, τῆς Ἐκκλησίας ἀκαταμάχητος, πύργος γενόμενος, τῶν ἀφρόνων ἅπασαν αἱρετικῶν, φάλαγγα τροπούμενος, θεόφρον ὅσιε.

Ἔνδον τῶν ἀῤῥήτων πεφοιτηκὼς, εἰς οὐρανοὺς ἀναβὰς ἀρετῶν εὐωχούμενος, θεοῤῥήμον ἅρμασι, διφρηλάτης αἰθέριος, ὡς ὁ θεσβίτης νῦν ἀνυψούμενος, οὗ καὶ τὸν ζῆλον ἐκμιμησάμενος, ξίφει τοῦ πνεύματος, τῆς αἰσχύνης ἅπαντας τοὺς ἱερεῖς, ἄριστα κατέσφαξας μακαριώτατε. Δόξα Ἦχος δ'.

Ὥσπερ ἡδύπνοον ῥόδον τῇ Ἐκκλησίᾳ ἐξήνθησας, Νικηφόρε πολύαθλε, ταῖς ὀδμαῖς τῶν ἀρετῶν καὶ δογμάτων σου, καταμυρίζων τῶν πιστῶν τὰ συστήματα, καὶ τοῖς ἐξαισίοις ἀγῶσι σου καταφαιδρύνων οἰκουμένης τὰ πέρατα· διὸ συναθροισθέντες σήμερον ἐπὶ τῇ πανσέπτῳ πανηγύρει σου, καὶ πόθῳ ζέοντι εὐφημοῦντες σε ἱκετεύομεν, μὴ ἀποκάμῃς ὑπὲρ ἡμῶν δυσωπῶν τὸν δεσπότην σου καὶ κύριον, λυτροῦσθαι ἐκ παντοίων κινδύνων καὶ αἱρέσεων, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ διὰ σὲ θεοπάτωρ. Εἴσοδος. τὸ Φῶς ἱλαρόν. τὸ Προκείμ. τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα. Ζήτει Νοεμβρίου ιγ'. Εἰς τὴν Λιτὴν Ἦχος α'.

Ἀγάλλου ἐν κυρίῳ πόλις τοῦ Κωνσταντίνου, καὶ σκίρτησον, σήμερον, τοὺς πιστοὺς συγκαλοῦσα πρὸς πανήγυριν φαιδρὰν καὶ μυστικὴν εὐφροσύνην, ἐν τῇ σεβασμίᾳ μνήμῃ τοῦ σεπτοῦ σου πολιούχου καὶ ποιμενάρχου, Νικηφόρου τοῦ τρισμάκαρος, τοῦ ἐκ σοῦ μὲν ἐκβλαστήσαντος, τὴν δὲ οἰκουμένην πᾶσαν καταφαιδρύναντος καὶ στηρίξαντος, τοῖς θείοις αὐτοῦ δόγμασι καὶ ἀγῶσι, τοὺς δὲ ἀνόμους καταισχύναντος, καὶ πάσας τὰς αἱρέσεις ἐκ ποδῶν ποιησαμένου· καὶ εὐχαρίστως Θεῷ καὶ πατρὶ ἀναβόησον, δόξα σοι Χριστὲ τῷ ἐνδοξαζομένῳ ἐν τοῖς ἁγίοις σου. Ὁ αὐτός.

Τὸ τοῦ Πνεύματος θειότατον ὄργανον, τῆς σοφίας τὴν πηγὴν τὴν ἀκένωτον, τῶν οὐρανίων τὸν μύστην, καὶ τῶν ὑψηλῶν δογμάτων τὸ πέλαγος, τὸν τῆς Ἐκκλησίας κοσμήτορα, καὶ Ἱεραρχῶν τὸν ὑπέρτατον, εὐσεβούντων τὸ κλέος, καὶ αἱρετιζόντων ἀντίπα

www.tezaurliturgic.ro



τίπαλον, Νικηφόρον τὸν μέγιςον ἀριςέα, κατὰ χρέος εὐφημήσωμεν ἵνα πρεσβεύῃ ἀκαταπαύςως τῷ διδασκάλῳ αὐτȣ̃ Χριςῷ, ὑπὲρ τῶν ἐκ πόθȣ ἑορταζόντων τὴν μνήμην αὐτȣ̃ τὴν σωτήριον. Ἦχος β'.

Ὅτε παρέςης τῷ παρανόμῳ βασιλεῖ θεσπέσιε, τῆς ὀρθοδοξίας προϊςάμενος, τότε ὑπὸ σȣ̃ διήλεγκται ὡς ἐμβρόντητος ᾗ εὐκαθέςατος, τῇ δυνάμει τῶν εὐςοχοτάτων σȣ λόγων καταβληθείς. Ἀπειλαῖς δέ σε καθυποβαλὼν ᾗ φυλακαῖς, ᾗ ςενοχωρίαις ἐν τῇ ὑπερορίᾳ, ȣ̓κ ἴσχυσεν ὁ παράφρων, μέχρι τέλȣς τὸ τῆς ψυχῆς σȣ ἀνένδοτον χαυνῶσαι εἰς τὸ προδȣ̃ναι τὴν εὐσέβειαν· διὸ ὡς ὁμολογητὴς τὰ γέρα τῶν πόνων σȣ κομισάμενος πρὸς τȣ̃ δεσπότȣ σȣ, ᾗ παῤῥησίαν πολλὴν πλȣτῶν πρὸς αὐτὸν, ἀκαταπαύςως πρέσβευε ὑπὲρ τῆς Ἐκκλησίας, τὸν καλὸν ἀγῶνα διατηρῶν αὐτῆς, ᾗ τὸ κάλλος ἀλώβητον, ταῖς τῶν ἐναντίων προσβολαῖς ᾗ προσρήξεσι· τοῖς δὲ ἀνευφημȣ̃σι σȣ τȣ̀ς ἀγῶνας, ᾗ πιςῶς ἐπιτελȣ̃σι τὸ ἱερόν σȣ μνημόσυνον, αἴτησαι σωτηρίαν ψυχικὴν, ᾗ τὸ μέγα ἔλεος. Ἦχος δ'.

Ἀρετῶν εἰς μέγιςον ὕψος ἀναβάντα σε θεασάμενος, ὁ Δεσποτης σȣ Χριςὸς, νικηφόρε τρισόλβιε, ἐπὶ τὴν ὑψηλὴν λυχνίαν ἐνιδρύσατο, ποιμενάρχην σεπτὸν τῆς βασιλευȣ́σης τῶν πόλεων ἀπεργασάμενος, καταπυρσεύοντα μὲν ἐκεῖθεν τὴν ὑφήλιον πᾶσαν ταῖς φαειναῖς σȣ ἀρεταῖς, ᾗ ἐνθέοις διδάγμασι, ᾗ δόγμασι, κατατέρποντα δὲ τῶν εὐσεβȣ́ντων τὴν ὁμήγυριν τοῖς ξένοις θαυμασίοις σȣ· ᾗ μεταςὰς ἐκ τῆς προσκαίρȣ ζωῆς πρὸς τὴν ἀεὶ διαμένȣσαν, ἐποπτεύεις θεόφρον τȣ̀ς πιςῶς ἀνευφημȣ̃ντας σε, δωρȣ́μενος αὐτοῖς τῶν αἰτημάτων τὴν χάριν, σωτηρίαν ψυχικὴν, ᾗ τὸ μέγα ἔλεος Δόξα Ἦχος Πλ. ά.

Σήμερον ἀνέτειλεν ὑπὲρ τὸν ἑωσφόρον, ἡ πανεύσημος μνήμη, ᾗ φαιδροτάτη ἑορτὴ, Νικηφόρȣ τȣ̃ τρισμάκαρος ποιμενάρχȣ, τȣ̀ς πιςȣ̀ς ἀοράτως κατατέρπȣσα, τοῖς ἀποςολικοῖς ᾗ ἀθλητικοῖς αὐτȣ̃ ἀγῶσιν. Οὗτος γὰρ ὁ ἀοίδιμος τὸ πρότερον μὲν ἐν ἀσκήσει διαπρέψας, ἱερωσύνης δὲ ὕςερον κοσμηθεὶς ταῖς

λαμ-

www.tezaurliturgic.ro



λαμπρότησι, πάντα τὸν κόσμον ἐφώτισε, τοῖς πανσόφοις αὐτῦ δόγμασι. Τὰς δὲ αἱρέσεις πάσας ἐκποδῶν ἐποιήσατο· ὅθεν τῆς Ἐκκλησίας προςάτης, ἢ τῆς εὐσεβείας προασπιςὴς ἐδείχθη ἀπαράμιλλος. διὸ παριςάμενος τῇ μακαρίᾳ τριάδι, ὡς Ἱεράρχης θεόληπτος, ὡς μάρτυς ἄνευ αἵματος ἐννομώτατος, ἀδιαλείπτως πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθε ἀνευφημέντων τὰ γενναῖα αὐτῦ παλαίσματα, ἢ χαρμονικῶς ἑορταζόντων, τὴν πάμφωτον ἢ θείαν αὐτῦ πανήγυριν. Καὶ νῦν. Θεοτοκ.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, ἢ δοξάζομέν σε οἱ πιςοὶ κατὰ χρέος τὴν πόλιν τὴν ἄσειςον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προςασίαν, ἢ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἦχος Πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ Ἱεράρχης Χριςῦ, ὁ καταπλύσας τὰ ἐπίκηρα ἅπαντα, ἢ κόσμον καταφαιδρύνας, τῶν ἀρετῶν σῦ σοφὲ, ἢ δογμάτων θείων τοῖς πυρσεύμασι. Πηγὴ χαῖρε ἔμπλεως, χαρισμάτων τῦ Πνεύματος, ἀρχιερέων τὸ σεπτὸν ἀκροθήνιον, χαῖρε καύχημα, Ἐκκλησίας ἢ ςήριγμα· χαίροις ὁ παριςάμενος, Χριςῷ τῷ Κυρίῳ σῦ, ἢ σὺν ἀγγέλοις χορεύων, ἢ τῶν ἁγίων τοῖς τάγμασι· μεθ᾽ ὧν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος. Στίχ. τὸ Στόμα μῦ λαλήσει σοφίαν,

Χαίροις ἡ ἱερὰ κεφαλὴ, τῆς Ἐκκλησίας ὁ ὡραῖος παράδεισος, τὸ κλέος τῶν Βυζαντίων, ὁ τῶν πιςῶν ςηριγμὸς, τὸ τῦ παρακλήτῦ θεῖον ὄργανον, ὁ νῦς ὁ σοφώτατος, ὁ διδάγμασιν ἅπαντας, καταφωτίσας ἢ φαιδρύνας τὴν σύμπασαν, τῇ ἐνςάσει σῦ, ἢ πολλοῖς ἀγωνίσμασι. Χαίροις ὅτι κατῄσχυνας δεινῶς αἱρετίζοντας, ἢ τροπωσάμενος τύτυς ὡς Νικηφόρος θεόληπτος. Χριςὸν ἐκδυσώπει, παρασχεῖν ἡμῖν εἰρήνην, ἢ μέγα ἔλεος.

Στίχ. Στόμα δικαίυ μελετήσει σοφίαν, ἢ ἡ γλῶσσα

Χαίροις ὁ ἱερώτατος νῦς ὁ ἀπὸ βρέφυς ἀγαπήσας τὸν Κύριον, ἢ πᾶσαν ἐκπλήξας φρέναν τῇ καρτερίᾳ τῇ σῇ, ἢ εἰκονομάχυς τροπωσάμενος· ἢ νῦν κατεσκήνωσας, ἔνθα ἦχος ἀκύετου

www.tezaurliturgic.ro

κὅεται ἑορταζόντων, ἔνθα φῶς τὸ ἀνέσπερον, ὅπε χαίρεσι, τῶν Ἁγίων τὰ τάγματα· οἷς ἢ συναυλιζόμενος, θεόφρον πατὴρ ἡμῶν, λύσιν πταισμάτων παράσχε, τοῖς ἐκτελεσι τὴν μνήμην σε, Χριςὸν ἱκετεύων, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα Ἦχος Πλαγ. δ'.

Ἀγάλλεται σήμερον ἡ Ἐκκλησία τε Θεε, ἐν τῇ πανσέπτῳ σε μνήμῃ Νικηφόρε πανσέβασε, ὡς ποιμένα σε πανάρισον θεόθεν εὐμοιρήσασα· εὐφραίνεται δὲ ἢ ἡ βασιλὶς τῶν πόλεων ἐν κόλποις κατέχεσα ὡς πολυτίμητον θησαυρὸν τὸ πολύαθλον σῶμα σε. Ἡ δὲ οἰκεμένη πᾶσα προςάτην σε κηρύττει θερμότατον, ὡς διὰ σε τὴν εὐσέβειαν διακρατεσα. Διὸ τὲς ἐκτελεντας σε τὴν πάμφωτον μνήμην, ἢ θαυμασίαν ἑορτὴν, ἢ προσκυνεντας σε τὸ ἱερώτατον σκῆνος, περίσωζε ἐκ παντοίων νόσων ἢ περιςάσεων, ταῖς ἀκοιμήτοις πρεσβείαις σε πρὸς Θεὸν τὸν σὲ δοξάσαντα.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Ἀπολυτίκιον Ἦχος γ'.

Μέγα καύχημα τῆς Ἐκκλησίας, μέγα ςήριγμα τῆς Βυζαντίδος, μέγα κλέος τῶν πιςῶν ἀναδέδειξαι. Ὡς εὐσεβείας προςάτης θερμότατος, ἢ κακοδόξων γενναῖος ἀντίπαλος, Νικηφόρε ἔνδοξε, Χριςὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τε γένες ἡμῶν, ἀνυμνεμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σε προσληφθείσῃ ὁ υἱός σε ἢ Θεὸς ἡμῶν· τὸ διὰ Σταυρε καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ἡ εὐλόγησις τῶν ἄρτων, ἢ ἀπόλυσις.

Εἰς τὸν Ὄρθον μετὰ τὴν ά. Στιχολογίαν Κάθισμα.

Ἦχος ά. τὸν Τάφον σε. Σωτήρ.

Ὡς ἥλιος λαμπρὸς, Νικηφόρε θεόφρον, ἡ μνήμη σε σοφὲ ἐπεφάνη τῷ κόσμῳ, ἅπαντων καταυγάζεσα τῶν πιςῶν τὰ συςήματα, ἢ ἐγείρεσα, ἀνευφημεῖν σὲς ἀγῶνας, ἢ τὰ σκάμματα, ἢ τὸν Σωτῆρα δοξάζειν, τὸν σὲ μεγαλύναντα.

Θεο-

www.tezaurliturgic.ro



Θεοτοκίον ὅμοιον.

Ἐλπὶς Χριστιανῶν, Παναγία παρθένε, ὃν ἔτεκες Θεὸν ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε, σὺν ταῖς ἄνω δυνάμεσι, δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν βίου τοῖς πίστει καὶ πόθῳ ἀεί σε δοξάζουσι. Μετὰ τὴν β'. Στιχολογίαν Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἡ φαιδρά σου σήμερον μνήμη ἐπέστη, Νικηφόρε πάνσοφε, φωταγωγοῦσα τοὺς πιστούς, καὶ διεγείρουσα ἄσμασιν, ἀνευφημῆσαι τοὺς θείους ἀγῶνάς σου. Θεοτοκίον ὅμοιον.

Τὰς ἀχράντους χεῖράς σου Παρθενομῆτορ, ἐφαπλοῦσα σκέπασον τοὺς πεποιθότας ἐπὶ σὲ καὶ τῷ υἱῷ σου κραυγάζοντας, πᾶσι παράσχου Χριστὲ τὰ ἐλέη σου. Μετὰ τὸν Πολυέλεον.

Ἦχος γ'. τὴν Ὡραιότητα.

Πρὸς ὑπερκόσμια θεῖα σκηνώματα, σὺ μεταβέβηκας ὦ ἱερώτατε, γέρα ληψόμενος σοφὲ, ἀγώνων σου τῶν πανσέπτων. Ὅθεν τοὺς τελοῦντάς σου, τὴν σεβάσμιον κοίμησιν, καὶ ἀσπαζομένους σου εὐλαβῶς τὸ σὸν λείψανον, φύλαττε εὐχαῖς σου Νικηφόρε, παντοίων νόσων καὶ κινδύνων. Θεοτοκίον ὅμοιον.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς, ἐβόα σοι Θεοτόκε. ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι. διὸ ὡς προσετάγην βοῶ σοι, χαῖρε ἡ κεχαριτωμένη.

Οἱ Ἀναβαθμοὶ τὸ α'. Ἀντίφωνον τοῦ δ'. Ἤχου.

Προκείμενον. Ἦχος δ'.

Τὸ στόμα μου λαλήσει σοφίαν. καὶ ἡ μελέτη

Στίχ. Ἀκούσατε ταῦτα πάντα, τὰ ἔθνη.

Πᾶσα πνοὴ, καὶ Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην. Ζήτει εἰς τὸν Ὄρθρον τοῦ Χρυσοστόμου. τὸν Ν' Ψαλμόν, Δόξα. Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν Ταῖς τῆς Θεοτόκου. Καὶ τὸ Ἰδιόμελον. Ἦχος Πλάγ. β'.

Ὅσιε τρισμάκαρ ἁγιώτατε Πάτερ, ὁ ποιμὴν ὁ καλὸς, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητὴς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προ-

www.tezaurliturgic.ro



προβάτων. αὐτὸς ἢ νῦν πανεύφημε Νικηφόρε πολύαθλε, αἴτησαι πρεσβείαις σε δωρηθῆναι ἡμῖν τὸ μεγα ἔλεος.

Τὸ σῶσον ὁ Θεὸς ἢ τὰ λοιπά. Καὶ οἱ Κανόνες τῆς Θεοτόκε μετὰ τῶν Εἱρμῶν εἰς ϛ'. ἢ τε Ἁγίε εἰς ή.

Ὁ Κανὼν τε Ἁγίε. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Τὴν πρᾶξιν τῆς θεωρίας ἔδειξας, σαφῶς ἐπίβασιν, τὴν γὰρ ψυχὴν ῥυθμίσας πρακτικῶς, Νικηφόρε πανόλβιε, πρὸς θεωρίαν ἄριστον, τὴν ἀκροτάτην ἀνεπτέρωσας.

Ὁ λόγος ὡραϊσμένος πράξεσιν, ὁ βίος λόγῳ δὲ, κεκοσμημένος ὤφθη σε λαμπρῶς. Νικηφόρε θεόληπτε· διὸ ἐπὶ τε θρόνε σε, τε ὑψηλε Χριστὸς ἀνέθετο.

Νοσήσας τε μαμωνᾶ τὴν αἵρεσιν, λέων ὁ δείλαιος, ἢ τῇ στερρᾷ σε πέτρᾳ προσβαλὼν, Νικηφόρε συντέτριπται, ἢ θαυμαστή τις γέγονεν ἡ συμφωνία τῆς σοφίας σε. Θεοτοκίον.

Ἴασω τὴν συντριβὴν πανάμωμε, τῆς ἀνθρωπότητος, τὸν ποιητὴν τεκεσα τε παντὸς, τὸν ἡμᾶς ἀνορθώσαντα, καταῤῥαγέντας πτώματι, τῶν προπατόρων θεονύμφευτε

Καταβασία. Ἀνοίξω τὸ στόμα με.

Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Κατακοσμήσας, ἀρετῶν ταῖς ἰδέαις τὸν βίον σε, ἢ φωστὴρ λόγον ζωῆς, σαφῶς ἐπέχων γενόμενος, Χριστε τὴν πανίερον ποίμνην ἐποίμανας.

Η θεοῤῥήμων, ἢ πυρίνη σε γλῶσσα ἢ ἔνθεος, τῷ πυρὶ τῷ νοητῷ, τὰς ἀκανθώδεις κατέφλεξεν, αἱρέσεις θεόσοφε, πάτερ ἀοίδιμε.

Φιλοσοφίᾳ, τῆς σοφίας τὸ βάθος ἠρεύνησας, ἢ δογμάτων σε πλοκαῖς, τες ἀθετεντας εἰκόνα Χριστε, τρανῶς ἀπηγχόνησας ἀξιοθαύμαστε. Θεοτοκίον.

Ὁμολογεντες, τὸν Πατρὶ πρὸ αἰώνων συνάναρχον, ἐπ' ἐσχάτων ἐκ τῆς σῆς, γαστρὸς τεχθέντα πανάμωμε, κυρίως δοξάζομεν ὡς θεομήτορα. Καταβασία. τες σες ὑμνολόγες Θεοτόκε. Κάθισμα. Ἦχος ά.

 Τὸν

www.tezaurliturgic.ro



Τὸν τάφον σου Σωτὴρ.

Χοροὶ Πατριαρχῶν, τὴν Ἁγίαν σου μνήμην, ἐν ὕμνοις καὶ ᾠδαῖς Νικηφόρε τιμῶσι· προσθήκην γὰρ ἐδέξαντο, τὴν ψυχήν σου τὴν ἔνδοξον· ὅθεν σήμερον καὶ ἡ σεπτὴ Ἐκκλησία μεγαλύνουσα, τὸν βασιλέα δοξάζει, τὸν μόνον Φιλάνθρωπον.

Θεοτοκίον ὅμοιον.

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον ὀφθεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία.

Ῥώμῃ τῇ θείᾳ τὰς μύλας ἱεροφάντορ, τῶν ἀσεβῶν συνέθλασας, τῷ στεῤῥῷ σου λόγῳ, τούτους τροπωσάμενος, καὶ σέβειν ἐδίδαξας, θεῖον τοῦ Σωτῆρος ἐκόνισμα.

Ὁμολογίᾳ τὴν θείαν ἱερωσύνην, περιφανῶς ἐφαίδρυνας, πάτερ Νικηφόρε, λέοντος ὠμότητι, περιοριζόμενος, μύστα τῶν ἀῤῥήτων θεόληπτε.

Νεανικῶς προϊστάμενος Νικηφόρε, τῶν εὐσεβῶν δογμάτων, τῆς σεπτῆς Ἐκκλησίας, μάστιγι τῶν λόγων σου, τοὺς λύκους ἐδίωξας, πάτερ τὴν ὀρθὴν καπηλεύοντας. Θεοτοκίον.

Σεσαρκωμένον τὸν ἄσαρκον πρὶν τεκοῦσα, λόγον Θεοῦ πανύμνητε, κεχαριτωμένη, κόσμον ἀνεκαίνισας· διό σε θεόνυμφε, πίστει ὀρθοδόξῳ γεραίρομεν.

Καταβασία. τὴν Ἀνεξιχνίαστον θείαν βουλήν.

Ὠδὴ ε'. σὺ κύριε μου φῶς.

Νοῦν ἔχων καθαρὸν, οὐρανοὺς ἐμβατεύοντα, τῆς γνώσεως καὶ σοφίας, τὸ ἀμάραντον ἄνθος, ἐδρέψω παμμακάριστε.

Καὶ λόγον πρακτικὸν, καὶ ζωὴν ἔχων ἄληπτον, ὡς ἥλιος ἐξαστράπτων, τῆς σεπτῆς Ἐκκλησίας, λαμπρύνεις τὸ στερέωμα.

Θεοτοκίον.

Ἡ λύσις τῆς ἀρᾶς, τῆς προμήτορος γέγονας, πανάμωμε συλλαβοῦσα, τὸν ἡμᾶς εὐλογίαις, ταῖς θείαις στεφανώσαντα.

Κατα-

www.tezaurliturgic.ro



Καταβασία. Ἐξέςη τὰ σύμπαντα.

Ὠδὴ ϛ΄. Θύσωσι μετὰ Φωνῆς.

Φωσφόρος, ταῖς ἀκτῖσιν ἐκλάμπων τȣ̃ πνεύματος, ταῖς Ἐκκλησίαις θεόφρων, ἀνεδείχθης ςύλος ȣ̓ρανομήκης, ϗ νεφέλη, πρὸς κληρȣχίαν ἄγων ȣ̓ράνιον.

Ὅλην σȣ τὴν ζωὴν, τῷ Θεῷ καθιέρωσας, διαφερόντως ἐντεῦθεν, ἐπὶ πᾶσαν ἄρχων τὴν οἰκȣμένην, κατεςάθης, ἱεροφάντα πάτερ μακάριε.

Ῥήγνυσι τὰς πλοκὰς τῶν ἀθέων αἱρέσεων, σȣ̃ ὁ θεόπνευςος λόγος, τῷ διςόμῳ ξίφει τȣ̃ παρακλήτȣ τὸ δὲ φέγγος τῆς ἀληθείας πᾶσι προδείκνυσι. Θεοτοκίον.

Οἱ νόμοι παραδόξως τῆς φύσεως λύονται, ὅτι Παρθένος νῦν τίκτει, ϗ θηλάζει κόρη ἀπειρογάμως, συλλαβȣ̃σα, τὸν τῶν ἁπάντων κτίςην ϗ κύριον.

Καταβασία. τὴν θείαν ταύτην ϗ πάντιμον.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τὸν τῆς νίκης ςέφανον, ὦ Νικηφόρε, ȣ̓ρανόθεν σήμερον ὡς εἰληφὼς παρὰ Θεȣ̃, σῶζε τȣ̀ς πιςεῖ τιμῶντας σε, ὡς Ἱεράρχην ὁμȣ̃ ϗ διδάσκαλον. Ὁ οἶκος.

Τὸν Ἱεράρχην τȣ̃ Χριςȣ̃, φωςῆρα τῆς Ἐκκλησίας τὸν μυηθέντα μὲν καλῶς ἐκ νέȣ τȣ̃ σώματος, ϗ τῷ Θεῷ ἑαυτὸν ἀναθέμενον, ϗ τὸν Σταυρὸν τȣ̃ Κυρίȣ ἀναλαβόντα ἐπὶ ὤμων ποιμενάρχην δὲ πιςὸν τῆς βασιλίδος τῶν πόλεων ἐκ Θεȣ̃ ἀναδειχθέντα, ϗ πᾶσαν τὴν οἰκȣμένην καταυγάσαντα, ταῖς φαειναῖς αὐτȣ̃ ἀρεταῖς, διδάγμασί τε ϗ δόγμασι, Νικηφόρον τὸν ἀοίδιμον κατὰ χρέος οἱ πιςοὶ ἀνευφημήσωμεν σήμερον, ὡς Ἱεράρχην ὁμȣ̃ ϗ διδάσκαλον.

www.tezaurliturgic.ro



Τῷ αὐτῷ Μηνὶ β'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ.

Στίχ. Τοῦ Πατριάρχου Πατριάρχης πλησίον,
θείου γέροντος Ἀβραὰμ Νικηφόρος.
Δευτερίῃ Νικηφόρος εἰς Ἐδὲμ εὕρατο μοῖραν.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Νικηφόρος ὑπῆρχεν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ δυσσεβοῦς Κοπρωνύμου, γέννημα καὶ θρέμμα τῆς βασιλίδος τῶν πόλεων· πατέρες δὲ αὐτῷ ἐξ εὐγενῶν Θεόδωρος καὶ Εὐδοκία. Οὗτος ὁ Θεόδωρος γέγονεν ἀπογραφεὺς τῶν βασιλικῶν ἐνταλμάτων καὶ διαβληθεὶς ὡς προσκυνητὴς τῶν θείων εἰκόνων, μάστιξι καταξαίνεται, καὶ ἐπὶ μίλλασαν στέλλεται τὸ δεινότατον φρούριον. Καὶ μετὰ ταῦτα ἀνακληθεὶς, καὶ μὴ εἴξας τοῖς βασιλικοῖς προστάγμασι, πάλιν ὑπὲρ τὴν νίκαιαν ὑπερορίζεται, κἀκεῖσε διαρκέσας χρόνους ἓξ ἐν κακώσει πολλῇ τὸν βίον καταλιμπάνει. Ὁ δὲ τούτου παῖς ὁ τίμιος Νικηφόρος, τοὺς τῆς ὀρθοδοξίας στεφάνους ἐξ αὐτῆς τῆς λοχείας ἐνιλίσσεται καὶ εὐσεβείας γάλακτι τρέφεται, καὶ τὸ νηπιῶδες παραμειψάμενος, καὶ καλῶς παιδευθεὶς, εἰς τοὺς συγγραφεῖς καταστάττεται. Ἔπειτα ὡς σκύβαλα, καὶ ὡς ἀράχνην λογισάμενος, ἀναχωρεῖ τῆς πόλεως, καὶ τὴν προποντίδα τοῦ ἄστεος καταλαμβάνει. Κἀκεῖσαι μόνος μόνῳ Θεῷ προσανεῖχε πλείστοις πόνοις καὶ ταλαιπωρίαις προσομιλῶν. Ἐπεὶ δὲ Ταράσιος ὁ μέγας Ἀρχιερεὺς ἀπεβίω, Νικηφόρος ἔστος ὑπὸ Νικηφόρου ἄνακτος ἐκβιασθεὶς, καὶ παρακληθεὶς, τὸν θρόνον ὑπεισέρχεται Κωνσταντινουπόλεως. Καὶ μετὰ μικρὸν τοῦ αὐτοῦ βασιλέως ἀναπαυσαμένου, καὶ Σταυρακίου τοῦ υἱοῦ αὐτοῦ διαδεξαμένου τὴν βασιλείαν, καὶ αὐτοῦ τάχιον ἀποβιώσαντος, Μιχαὴλ ὁ εὐσεβέστατος, τῆς βασλείας τὰ σκῆπτρα δέχεται. Τοῦτον δὲ καθελὼν Λέων ὁ θηριώνυμος τῆς βασιλείας, καὶ ταύτης ἐγκρατὴς γενόμενος, κατὰ τῶν ἁγίων εἰκόνων χωρεῖ, καὶ κατὰ τῆς εὐσεβοῦς ἡμῶν πίστεως. Ὅσα δὲ καὶ ὁποῖα ὁ σεβάσμιος πατὴρ ἡμῶν Νικηφόρος τὸν ἀσεβῆ καὶ ἀλιτήριον, διεξῆλθε παῤῥησιασάμενος,

www.tezaurliturgic.ro



σάμενος, ἀδύνατον, ἢ λέγειν, ἢ γράφειν. Ὁ δὲ Θεομισὴς παραυτίκα καθελὼν αὐτὸν τοῦ θρόνου, ἢ ὑπερορίσας, ἢ εἱρκτῇ τοῦτον ἀπορρίψας, μηδεμιᾶς παραμυθίας παρ' οἵου δήποτε προσαίτει τοῦτον μεταλαβεῖν. Καὶ οὕτω διήρκεσεν ὁ γεννάδας ταλαιπορούμενος μέχρις ἂν ὁ δείλαιος οὗτος τὴν ψυχὴν ἀπέρρηξεν, ὑπὸ τῶν οἰκείων μαχαίραις μεληδὸν κατακοπεὶς ἐν τῷ τοῦ Φάρου νεῷ. Ὁ δὲ μακάριος οὗτος, χρονίαις ταλαιπορίαις, ἢ κακοπαθείαις κατατονηθεὶς, ἑβδομηκοστόν που χρόνον πληρώσας, εἰς χεῖρας Χριστοῦ τοῦ Θεοῦ τὸ πνεῦμα παρέθετο, ἐννέα ἐν τῇ ἀρχιερωσύνῃ διατελέσας χρόνους, δεκατρεῖς ἐν ἐξορίᾳ. Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον ἢ σῶσον ἡμᾶς· ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Ναόν σε ζῶντα, Θεοῦ τοῦ ζῶντος ἐπιστάμεθα, ἔνδον ὡς λυχνία ἔχοντα χρυσαυγῆς, τῆς Τριάδος τὴν ἐπίγνωσιν. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Αἱρετιζόντων, τὰς γλωσσαλγίας καταλέλοιπας, πείθων τὴν εἰκόνα σέβειν τὴν τοῦ Χριστοῦ, Νικηφόρε τοὺς κραυγάζοντας, εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Σοφίας πλοῦτον, ἢ πολιτείαν ἔχων ἔνθεον, πᾶσαν διαβὰς τὴν αἴσθησιν νοερῶς, τῷ Χριστῷ νῦν προσωμίλησας· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε. Θεοτοκίον.

Μὴ διαιροῦντες, τὰ ἡνωμένα, μηδὲ συγχέοντες, ἕνα τὸν Χριστὸν δοξάζομεν τὸν ἐκ σοῦ, σαρκωθέντα λόγον κράζοντες· εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις πανάμωμε Δέσποινα.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Αἵματι Χριστοῦ λελυτρωμένος, τῇ γνώμῃ τὸν δι' αὐτὸν ὑπέστης θάνατον· τῆς γὰρ συνειδήσεως, ἤνεγκας μαρτύριον· ὁμολογίας χάριτι καταλαμπόμενος, ἢ Κύριον ὑμνεῖτε κραυγάζων, ἢ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σῶμα ἢ ψυχὴν κεκαθαρμένος, τῷ λόγῳ τῷ παντεπόπτῃ λόγον τέθεικας, τοῦτον πρὶν ἀσώματον, ἄναρχον δεικνύοντα, ἢ συμ-

www.tezaurliturgic.ro



συμπάθως γενόμενον ἄνθρωπον ὕςερον, καὶ κύριον ὑμνεῖτε κραυγάζων, ἢ ὑπερυψῶτε εἰς πάντας τὺς αἰῶνας.

Ἵνα κληρυχίας ὐρανίυ, ἢ δόξης ἀδιαδόχυ τύχης ἔνδοξε, δόξαν τὴν εὐμάραντον, πάτερ καταλέλοιπας, ὑπερορίας ἅπασαν Φέρων πικρότητα, ἢ κύριον ὑμνεῖτε κραυγάζων, ἢ ὑπερυψῶτε εἰς πάντας τὺς αἰῶνας. Θεοτοκίον.

Μόνην καθαρὰν ὁ καθαρός σε, νυμφίος ὁ νοητὸς εὑρὼν πανάμωμε, κρίνον εὐωδέςατον, ἄνθος ὡραιότατον, ἢ φωτοφόρον θάλαμον, νύμφην προσήκατο· διόσε τὴν Παρθένον ὑμνῦμεν, ἢ ὑπερυψῦμεν εἰς πάντας τὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος ὄρυς·

Εὗρες τὸ μακάριον τέλος, ὑπεξελθόν τῶν ἐσόπτρων, καὶ τῆς ἀληθείας φανείσης, τῇ θεωρίᾳ τῦ ἀκηράτυ κάλλυς· ὅπερ νῦν ἐμφορύμενος, ταῖς σαῖς πρεσβείαις ἡμῶν μέμνησο.

Λάρνακα κυκλῦντες τὴν θείαν, τῦ θεοφόρυ Νικηφόρυ, δεῦτε χριςοφόροι προθύμως, ὡς νικηφόρον τῦτον ὑμνήσωμεν, ἢ τὴν αὐτῦ πανήγυριν, μετ' εὐφροσύνης ἑορτάσωμεν.

Πᾶσαν ἀρετὴν ἐξασκήσας, ἐπὶ τῷ τέλει τῶν ἀγώνων, τῆς ὁμολογίας τῷ σέφει, ἱερομάρτυς ὤφθης κοσμύμενος· ᾧ καθωραϊζόμενος, τῷ σῷ δεσπότῃ νῦν παρίςασαι. Θεοτοκίον.

Ὡς ῥίζαν πηγὴν ἢ αἰτίαν, τῆς ἀφθαρσίας σε Παρθένε, πάντες οἱ πιςοὶ πεπεισμένοι, ταῖς εὐφημίαις καταγεραίρομεν. σὺ γὰρ τὴν ἀνυπόςατον, ἀθανασίαν ἡμῖν ἔβλυσας.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποςειλάριον. Γυναῖκες ἀκυτίσθητε.

Τὸ μέγα σεμνολόγημα, ἱεραρχῶν ὑμνήσωμεν, τῆς Ἐκκλησίας τὸν πύργον, ἢ Εὐσεβείας προςάτην, τὸ Βυζαντίδος καύχημα, ἢ τῶν πιςῶν προσφύγιον, Νικηφόρον τὸν πάνσοφον, ὅπως ταῖς τύτυ πρεσβείαις, πάσης ἀνάγκης ῥυσθῶμεν.

Χαῖρε τερπνὸν παλάτιον, ἢ θρόνε χρυσοπόρφυρε, τῦ Βασιλέως τῆς δόξης, χαῖρε σκηνὴ, χαῖρε κλίνη, χρυσῦν θυμιατήριον,

www.tezaurliturgic.ro



τήριον, ἢ σκῆπτρον ὑπερθαύμαςον, χαῖρε ἁγνὴ μητρόθεε, Χριςιανῶν ἡ προςάτις, ἢ σωτηρία τῦ κόσμυ.

Εἰς τὺς αἴνυς ἵςωμεν ςίχυς δ΄. ἢ ψάλλομεν ςιχ. προσόμοια. Ἦχος ά. τῶν Οὐρανίων ταγμάτων.

Τῶν Φιλεόρτων τὰ πλήθη δεῦτε συνδράμωμεν, ἢ τὴν Φωσφόρον μνήμην, ἑορτάσωμεν πάντες, τῦ θείυ ΝικηΦόρυ τῦ ἀρεταῖς, ἢ δογμάτων λαμπρότησι, καταπυρσεύσαντος ὄντως πᾶσαν τὴν γῆν, ἢ αἱρέσεις ἀνατρέψαντος.

Ὀρθοδοξίας ἐμπρέπων θείοις ὑψώμασιν, Ἀρχιερέων κλέος, τῇ λυχνίᾳ ἐτέθης, ὡς ἄξιος ἐργάτης, μισθὸν ἀληθῶς, τῶν σῶν πόνων δρεπόμενος, ἢ διὰ τῦτο χαρίσματα ἐκ Θεῦ, ἐκομίσω πανσεβάσμιε.

Τὸν ἀληθῆ Ἱεράρχην, ἢ λειτυργὸν τῦ Χριςῦ, ὡς παρ αὐτῦ λαβόντα τὴν τῦ Πνεύματος χάριν, τιμήσωμεν ἀξίως ἢ ἐν ᾠδαῖς, ΝικηΦόρον τὸν πάνσεπτον, τῆς Ἐκκλησίας τὸν ςύλον, ἢ τῶν πιςῶν ἐγκαλλώπισμα ἢ καύχημα.

Σὺν τοῖς χοροῖς τῶν Ἀγγέλων, ἢ τῶν Ἁγίων σοΦὲ, παρεςηκὼς τῷ θρόνῳ, τῆς ἁγίας Τριάδος, ἀπαύςως ἐκδυσώπει ὑπὲρ ἡμῶν, ΝικηΦόρε πολύαθλε, τῶν ἐκτελύντων τὴν μνήμην σου τὴν Φαιδρὰν, ἢ προσκυνύντων σου τὰ λείψανα.

Δόξα. Ἦχος πλ. β΄.

Δεῦτε πιςοὶ ἐνθέως σήμερον, τὸν Φωςῆρα τῆς πίςεως, καὶ μέγαν Ἱεράρχην τῆς βασιλίδος τῶν πόλεων, ΝικηΦόρον τὸν ἀείμνηςον, ᾀσματικοῖς ἐγκωμίοις εὐΦημήσωμεν λέγοντες. Χαίροις ὁ ἀπὸ βρέΦυς τὸν Θεὸν ἀγαπήσας, ἢ πᾶσαν καταπτύσας κοσμικὴν ἡδυπάθειαν. Χαίροις Φωςὴρ τηλαυγέςατε, ὁ δαδυχῶν τὴν σύμπασαν τῶν δογμάτων Φαιδρότησι. Χαίροις ὁ καταισχύνας ςίΦη αἱρετιζόντων, ἢ ἐπιςηρίξας πλήθη τῶν ὀρθοδόξων. Χαίροις ὁ γενναῖος ἀδάμας τῆς ὑπομονῆς, ἢ ἐν περιςάσεσιν ἀκατάβλητος. Διὸ δυσωπῦμεν σε πολύαθλε, μὴ παύσῃ πρεσβεύων Χριςῷ τῷ Θεῷ ὑπὲρ τῆς ποίμνης σου ταύτης, ἢ πάντων πιςῶν, τῶν ἐκ πόθυ ἢ χαρμονικῶς ἑορταζόντων,

www.tezaurliturgic.ro



των, τὴν πανεύσημόν ἢ πανέορτον μνήμην σὲ.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ ἦ ἡ ἄμπελος ἡ ἀληθινή·

Δοξολογία μεγάλη, ἢ ἀπόλυσις.

Εἰ τὴν Λειτεργίαν τυπικὰ, ἢ ἐκ τε Κανόνος τε Ἁγίε. Ὠδὴ γ΄. ἢ ϛ΄. Ὁ Ἀπόςολος. ζήτει Νοεμβρίε ιγ΄. Τε Χρισοςόμε. ἢ Εὐαγγέλιον ἐκ τε κατὰ Λεκ. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτε μαθηταῖς, πᾶς ὃς ἐὰν ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων· ζήτει Νοεμ.β. ϛ΄. Κοινωνικόν. Εἰς Μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Τὸν τῆς εὐσεβείας προασπιςὴν, ἢ τῆς Ἐκκλησίας, ποιμενάρχην τὸν θαυμαςὸν, τῶν πιςῶν προςάτην, ἢ Βυζαντίδος κλέος, τὸν θεῖον Νικηφόρον ὕμνοις τιμήσωμεν.

Κατὰ τὴν ιγ΄. τε Μαρτίε ἑορτάζεται πάλιν ἡ μνήμη τε Ἁγίε, καθ᾽ ἣν ἐγένετο ἡ ἀνακομιδὴ τε ἱερε αὐτε λειψάνε εἰς τὴν Κωνςαντινέπολιν· καὶ ψάλλομεν ἢ κατ᾽ ἐκείνην τὴν ἡμέραν ἅπασαν τὴν παρεσαν ἀκολεθίαν ἔντε τῷ Ἑσπερινῷ ἢ τῷ Ὄρθρῳ, ἢ τῇ Λειτεργίᾳ. Κανόνα δὲ λέγομεν τὸν εἰς τὸν Μάρτιον τε Ἁγίε μετὰ τῆς Θεοτόκε.

Τέλος Καὶ τῷ Θεῷ Δόξα.

www.tezaurliturgic.ro



Νοεμβρίυ ιγ'. τὰ ζητύμενα Ἀναγνώσματα ὁ Ἀπόστολος ϗ τὸ Εὐαγγέλιον Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΜΝήμη δικαίυ μετ' ἐγκωμίων, ϗ εὐλογία Κυρίυ ἐπὶ κεφαλὴν αὐτῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, ϗ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίυ ϗ ἀργυρίυ θησαυρύς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, ὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ ϗ ἔλον ἐπὶ γλώσσης φορεῖ. Τοιγαρῦν ἀκύσατέ μυ ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· ϗ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μυ, ἔξοδοι ζωῆς, ϗ ἑτοιμάζεται θέλησις παρὰ Κυρίυ. Διὰ τῦτο παρακαλῶ ὑμᾶς, ϗ προΐεμαι ἐμὴν φωνὴν, υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βυλὴν ϗ γνῶσιν ϗ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βυλὴ, ϗ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τὺς ἐμὲ φιλῦντας ἀγαπῶ. οἱ δὲ ἐμὲ ζητῦντες, εὑρήσυσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανυργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακύσατέ μυ, ϗ πάλιν. σεμνὰ γὰρ ἐρῶ, ϗ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μυ, ἐβδελυγμένα δὲ ἐναντίον ἐμῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τῦ στόματός μυ· ὐδὲν ἐν αὐτοῖς σκολιὸν, ὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοῦσι, ϗ ὀρθὰ τοῖς εὑρίσκυσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ· ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν. ϗ πλησθήσεσθε Πνεύματος.

Σοφία Σολομῶντος τὸ Ἀνάγνωσμα·

ΣΤόμα δικαίυ ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν. Δικαιοσύνη δὲ ῥύεται αὐτὺς ἐκ θανάτυ. Τελευτήσαντος ἀνδρὸς δικαίυ, ὐκ ὄλλυται ἐλπίς. Υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωὴν, καὶ ἐν ἀγαθοῖς αὐτῦ. καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντὸς, ϗ παρὰ Κυρίυ εὑρήσυσι χάριν ϗ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπί-

www.tezaurliturgic.ro



ἐπίσταται, ϗ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ. Φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτὴν, πρὸ τοῦ γνωσθῆναι, ϗ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν, οὐ κοπιάσει, ϗ ὁ ἀγρυπνήσας δι᾽ αὐτὴν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, ϗ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς· Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα ϗ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, ϗ ἐφίλησα ταύτην, ϗ ἐξεζήτησα ἐκ νεότητός μου, ϗ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ, Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, ϗ αἱρετὶς τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς ἀρεταί· σωφροσύνην δὲ ϗ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην ϗ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ ϗ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα ϗ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, ϗ λύσεις αἰνιγμάτων, σημεῖα ϗ τέρατα προγινώσκει, ϗ ἐκβάσεις καιρῶν ϗ χρόνων. Καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, ϗ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, ϗ ἐδεήθην αὐτοῦ, ϗ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, ϗ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, Καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι ϗ δικαιοσύνῃ. Δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, ϗ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σὸς, ϗ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, ϗ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσει με ἐν γνώσει, ϗ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ, ϗ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφία Σολομῶντος τὸ Ἀνάγνωσμα·

Ἐγκωμιαζομένου Δικαίου, εὐφρανθήσονται λαοί. ἀθανασία

γάρ

www.tezaurliturgic.ro



γάρ ἐςιν ἡ μνήμη αὐτῆ. ὅτι ἢ παρὰ Θεῷ γινώσκεται, ἢ παρὰ ἀνθρώποις, ἢ ἀρεςὴ Κυρίῳ ἡ ψυχὴ αὐτῆ. Ἐπιθυμήσατε τοιγαρῆν ὦ ἄνδρες σοφίαν, ἢ ποθήσατε, ἢ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, ἢ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, ἢ ἐ κρύψω ἀφ᾽ ὑμῶν μυςήρια Θεῆ. Ὅτι αὐτὸς ἢ τῆς σοφίας ὁδηγός ἐςι, ἢ τῶν σοφῶν διορθωτής. Καὶ ἐν τῇ χειρὶ αὐτῆ πᾶσα φρόνησις ἢ ἐργασιῶν ἐπιςήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔςι γὰρ ἐν αὐτῇ Πνεῦμα νοερὸν ἅγιον. Ἀπαύγασμα φωτὸς ἀϊδίε, ἢ εἰκὼν τῆς ἀγαθότητος τῆ Θεῆ. Αὕτη φίλες Θεῆ ἢ Προφήτας κατασκευάζει. Εὐπρεπεςέρα δέ ἐςιν ἡλίε, ἢ ὑπὲρ πᾶσαν ἀςέρων θέσιν· φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα· Αὕτη τὲς θεραπεύσαντας αὐτὴν, ἐκ πόνων ἐῤῥύσατο, ἢ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, ἢ διεφύλαξεν αὐτὲς ἀπὸ ἐνεδρευόντων, ἢ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς· ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐςιν ἡ εὐσέβεια· ἢ ἐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, ἐδ᾽ ἐ μὴ παρελεύσεται πονηρὲς ἐλέγχεσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς. Καταδυναςεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτῆ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτε πολυχρονίες. Ἔςω δὲ ἡμῶν ἡ ἰσχὺς, νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηςος ἡμῖν ἐςι, ἢ ἐναντιῆται τοῖς ἔργοις ἡμῶν, ἢ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεῆ, ἢ παῖδα Κυρίε ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐςιν ἡμῖν ἢ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτῆ, ἢ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτῆ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, ἢ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν, ἢ μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν ἦν, εἰ οἱ λόγοι αὐτῆ ἀληθεῖς, ἢ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτῆ. Ὕβρει ἢ βασάνῳ ἐτάσωμεν αὐτὸν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτῆ, ἢ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτῆ. Θανάτῳ ἀσχήμονι καταδικάσω-

μεν

www.tezaurliturgic.ro



μον αὐτόν· ἔςαι γὰρ αὐτῷ ἐπισκοπὴ ἐκ λόγων αὐτῷ. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυςήρια Θεοῦ, οὐδὲ ἔκριναν ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων, καὶ θανάτου τὴν ἐξουσίαν, καὶ σώζων ἐν καιρῷ θλίψεως, καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ, ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

Προκείμενον Ἦχος ά. Τὸ ςόμα μου λαλήσει σοφίαν.

ςίχ. Ἀκούσατε ταῦτα πάντα τὰ Ἔθνη.

Πρὸς Ἑβραίους ἐπιςολῆς Παύλου τὸ ἀνάγνωσμα.

ἈΔελφοὶ, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς, ὅσιος ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας· ὁ νόμος γὰρ ἀνθρώπους καθίςησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν Ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς· τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος.

Εὐαγγέλιον Ἐκ τοῦ κατὰ Λουκᾶν. ξδ'.

ΕἾπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ, ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ, ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ. Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ. Τῷ δὲ εἰς Τὸ ἅγιον πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς, ἢ τὶ ἀπολογήσησθε, ἢ τὶ εἴπητε· τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

2